καὶ ἐν ποτέρῳ ποτ' ἐστὶ τὸ φιλεῖν· καὶ πότερον ὅτι ἀγαθὸς, κἂν εἰ μὴ ἡδὺς, ἀλλ' οὐ διὰ τοῦτο. διχῶς δὴ λεγομένου τοῦ φιλεῖν, πότερον ὅτι ἀγαθὸν τὸ κατ' ἐνέργειαν, οὐκ ἄνευ ἡδονῆς φαίνεται. δῆλον ὅτι ὥσπερ ἐπιστήμης αἱ πρόσφατοι θεωρίαι καὶ μαθήσεις, αἰσθηταὶ μάλιστα τῷ εἴδει, οὕτω καὶ αἱ τῶν συνήθων ἀναγνωρίσεις, καὶ ὁ λόγος ὁ αὐτὸς ἐπ' ἀμφοῖν. φύσει οὖν τὸ ἁπλῶς ἀγαθὸν ἡδὺ ἁπλῶς· καὶ οἷς ἀγαθὸν, τούτοις ἡδύ. διὸ εὐθὺς τὰ ὅμοια ἀλλήλοις χαίρει, καὶ ἀνθρώπῳ ἥδιστον ἄνθρωπος. ὥστ' ἐπεὶ καὶ ἀτελῆ, δῆλον ὅτι καὶ τελειωθέντα· ὁ δὲ σπουδαῖος τέλειος. εἰ δὲ τὸ κατ' ἐνέργειαν φιλεῖν μεθ' ἡδονῆς ἀντιπροαιρέσεως τῆς ἀλλήλων γνωρίσεως, δῆλον ὅτι καὶ ὅλως ἡ φιλία πρώτη ἀντιπροαίρεσις τῶν ἁπλῶς ἀγαθῶν καὶ ἡδέων, ὅτι ἀγαθὰ καὶ ἡδέα. ἔστι δ' αὐτὴ ἡ φιλία ἕξις, ἀφ' ἧς ἡ τοιαύτη προαίρεσις. τὸ γὰρ ἔργον αὐτῆς ἐνέργεια. αὕτη δ' οὐκ ἔξω, ἀλλ' ἐν αὐτῷ τῷ φιλοῦντι, δυνάμεως δὲ πάσης ἔξω. ἢ γὰρ ἐν ἑτέρῳ, ἢ ἕτερον. διὸ τὸ φιλεῖν, χαίρειν, ἀλλ' οὐ τὸ φιλεῖσθαί ἐστι. τὸ μὲν γὰρ φιλεῖσθαι φιλητοῦ ἐνέργεια, τὸ δὲ καὶ φιλίας. καὶ τὸ μὲν ἐν ἐμψύχῳ, τὸ δὲ καὶ ἐν ἀψύχῳ. φιλεῖται γὰρ καὶ τὰ ἄψυχα. ἐπεὶ δὲ τὸ φιλεῖν τὸ κατ' ἐνέργειαν τὸ φιλουμένῳ, ὃ ἐστι χρῆσθαι ᾗ φιλούμενον. ὁ δὲ φίλος φιλούμενον, καὶ φίλῳ ᾗ φίλος, ἀλλὰ μὴ ᾗ μουσικὸς, ἢ ᾗ ἰατρικός· ἡδονὴ τοίνυν ἡ ἀπ' αὐτοῦ, ᾗ αὐτὸς, αὕτη φιλική. αὐτὸν γὰρ φιλεῖ, οὐχ ὅτι ἄλλος. ὥστ' ἂν μὴ χαίρῃ ᾗ ἀγαθὸς, οὐχ ἡ πρώτη φιλία. οὐδὲ δὴ ἐμποδίζειν οὐθὲν τῶν συμβεβηκότων μᾶλλον, ἢ τὸ ἀγαθὸν εὐφραίνειν. τί γὰρ σφόδρα δυσώδης λείπεται. ἀγαπᾶται γὰρ τὸ εὐνοεῖν, συζῆν δὲ μή. αὕτη μὲν οὖν ἡ πρώτη φιλία, ἣν πάντες ὁμολογοῦσιν. αἱ δ' ἄλλαι, δι' αὐτὴν καὶ δοκοῦσι καὶ ἀμφισβητοῦνται. βέβαιον γάρ τι δοκεῖ ἡ φιλία. μόνη δ' αὕτη βέβαιος. τὸ γὰρ κεκριμένον βέβαιον· τὰ μὴ ταχὺ γινόμενα μηδὲ ῥᾳδίως, οὐ ποιεῖ τὴν κρίσιν ὀρθήν. οὐκ ἔστι δ' ἄνευ πίστεως φιλία βέβαιος. ἡ δὲ πίστις. δεῖ γὰρ πεῖραν λαβεῖν ὥσπερ λέγει καὶ Θέογνις·

Οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικὸς,
Πρὶν πειραθείης ὥσπερ ὑποζυγίου.

οὐδ' ἄνευ χρόνου φίλος. ἀλλὰ βούλονται φίλοι. καὶ μάλιστα λανθάνει ἡ τοιαύτη ἕξις

A iucundus queat, sed non propter id ipsum tamē. Amor igitur, cùm dicatur bifariam, qui actu est, eo quòd bonum iudicat, non absque voluptate esse apparet: patet autem, quemadmodum in scientia rerum, cognatæ contemplationes, disciplinæque specie sua facilè intelliguntur, ita etiam familiarium recognitiones expeditæ fiūt: cuius rei ratio eadem in vtrisque est. Na-
B tura igitur simpliciter bonum, & simpliciter iucundum: & quibus bonum, iisdem etiam iucundum est. Quapropter similia similibus mox gaudent, & homini homo iucundissimus. Et quia imperfecta, ea conditione sunt, etiam absoluta eiusmodi erunt. Est autem vir bonus perfectus. Siquidem ergo amare actu mutuæ familiaritatis, & notitiæ, electio cum voluptate est. Scilicet & amicitia prorsus simpliciter bo-
C norum, & iucundorum, quia bona, iucundáque sunt, mutua electio. Atq. ea amicitia habitus, ex quo eiusmodi electio proficiscitur. Nam opus eius, actus est, qui non extrà, sed in ipso amante consistit, cum potentia extrà, vel in alio insit, vel diuersum saltem existat. Quocirca in amante, non in amato gaudium est. Amari enim amabilis rei, illud verò etiam amicitiæ actus est, & animati tantum, cùm prius etiam
D inanimatis competat, quando & ea quoq. diliguntur. Et quia amare actu est gaudere amato, quatenus amatum, & amicus etiam est, qui amatur vicissim, erit amicus amico non quà musicus, vel medicus. Voluptas igitur ab ipsa percepta, quà amicus, propriè amica voluptas appellatur: ipsum enim diligit non ob aliud quippiam. Quam ob rem nisi eo, quatenus bonus est, delectatur, non fuerit amicitia prima. Neq.
E rem vllā interueniētem obstare decet, vt bonū ipsum nō delectet. Itaq. etiam si graueolētia fuerit aliqua, obliterare, & mētis industriā amplectiuetus amicus solet. Hāc igitur primam amicitiam esse omnes confitentur: aliæ verò propter hanc, & aliquo modo videntur, & in controuersiam veniunt. Constantiam enim quandam habere amicitia videtur, ac sola ea constans est. Nam. pronunciatum à grauibus est, con-
F stans id esse, quod non citò fiat, neque facilè dissoluatur. cætera iudicio syncero vocant. Porrò nec citra fidem consistit amicitia firma: ea verò experimentum requirit, vt inquit Theognis,

*Nam neque viri neque mulieris mentem cognitam habebis,*
*Priusquam periculum feceris, vt de iumento.*

Eodem pacto & nec tempus requirit amicus: quia etiam amici ante contractam